ΗΛΕΚΤΡΑ

δμῳαὶ γυναῖκες, δωμάτων εὐθήμονες,
ἐπεὶ πάρεστε τῆσδε προστροπῆς ἐμοὶ
πομποί, γένεσθε τῶνδε σύμβουλοι πέρι·
τί φῶ χέουσα τάσδε κηδείους χοάς;
πῶς εὔφρον' εἴπω, πῶς κατεύξωμαι πατρί;
πότερα λέγουσα παρὰ φίλης φίλῳ φέρειν
γυναικὸς ἀνδρί, τῆς ἐμῆς μητρὸς πάρα;
τῶνδ' οὐ πάρεστι θάρσος, οὐδ' ἔχω τί φῶ
χέουσα τόνδε πελανὸν ἐν τύμβῳ πατρός.
ἢ τοῦτο φάσκω τοὔπος, ὡς νόμος βροτοῖς,
ἴσ' ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε
στέφη, δόσιν γε τῶν κακῶν ἐπαξίαν;
ἢ σῖγ' ἀτίμως, ὥσπερ οὖν ἀπώλετο
πατήρ, τάδ' ἐκχέασα, γάποτον χύσιν,
στείχω, καθάρμαθ' ὥς τις ἐκπέμψας, πάλιν
δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασιν;
τῆσδ' ἔστε βουλῆς, ὦ φίλαι, μεταίτιαι·
κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν.
μὴ κεύθετ' ἔνδον καρδίας φόβῳ τινός.
τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει
καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερός.
λέγοις ἄν, εἴ τι τῶνδ' ἔχεις ὑπέρτερον.
Χο. αἰδουμένη σοι βωμὸν ὣς τύμβον πατρὸς
λέξω, κελεύεις γάρ, τὸν ἐκ φρενὸς λόγον.
Ηλ. λέγοις ἄν, ὥσπερ ᾐδέσω τάφον πατρός.
<Χο.> φθέγγου χέουσα κεδνὰ τοῖσιν εὔφροσιν.
Ηλ. τίνας δὲ τούτους τῶν φίλων προσεννέπω;
Χο. πρῶτον μὲν αὑτὴν χὤστις Αἴγισθον στυγεῖ.
Ηλ. ἐμοί τε καὶ σοί τἄρ' ἐπεύξομαι τάδε.
Χο. αὐτὴ σὺ ταῦτα μανθάνουσ' ἤδη φράσαι.
Ηλ. τίν' οὖν ἔτ' ἄλλον τῇδε προστιθῶ στάσει;
Χο. μέμνησ' Ὀρέστου, κεἰ θυραῖός ἐσθ' ὅμως.
Ηλ. εὖ τοῦτο, κἀφρένωσας οὐχ ἥκιστά με.
Χο. τοῖς αἰτίοις νυν τοῦ φόνου μεμνημένη...
Ηλ. τί φῶ; δίδασκ' ἄπειρον ἐξηγουμένη.

**84** δμῳιαί Wecklein: δμωαί M // **87** τί φῶ Ahrens (δὲ del. Turnebus): τύφω δὲ M, οἴμαι τύμβωι m$^{mg}$ // **86** γένεσθε M$^{pcsl1}$: γενέσθαι M$^{ac}$ // **88** εὔφρον' m: εὔφρων M? / κατεύξωμαι Turnebus: κατεύξομαι M // **91-92** post 95 traiecit Weil, post 99 Diggle // **92** τόνδε M$^{pc}$: τῶνδε M$^{ac}$? // **94** ἴσ' Bamberger: ἔστ' M, εὖ τ' sive ἔσθλ' Elmsley // **95** γε Bourdelot: τε M / καλῶν Elmsley (noluit scholium) // **97** σίγ' M$^{ac}$ **97** ἐκχέασα Dindorf: ἐκχέουσα M // **100** ἔστε Asulanus (cl. Σ): ἐστέ M // **105** ἔχεις Askew, Blomfield: ἔχοις M // **109** <Χο.> Mc: nulla personae nota M / κεδνὰ Hartung (cf. Σ ἀγαθά): σεμνὰ M // **111** αὐτὴν M$^{ac}$ / στύγεῖ M // **112** τἄρ' Dindorf: τ' ἄρ' M, γ' ἄρ' Turnebus, Victorius, γ' ἆρ' Porson / ἐπεύξωμαι Dobree // **114** κεἰ M$^{pc}$: καὶ εἰ M$^{ac}$? // **117** νυν Paley: νῦν M //

Χο. ἐλθεῖν τιν᾽ αὐτοῖς δαίμον᾽ ἢ βροτῶν τινα.
Ηλ. πότερα δικαστὴν ἢ δικηφόρον λέγεις; 120
Χο. ἁπλωστὶ φράζουσ᾽, ὅστις ἀνταποκτενεῖ.
Ηλ. καὶ ταῦτά μοὐστὶν εὐσεβῆ θεῶν πάρα;
Χο. πῶς δ᾽ οὔ, τὸν ἐχθρὸν ἀνταμείβεσθαι κακοῖς; 123
Ηλ. κῆρυξ μέγιστε τῶν ἄνω τε καὶ κάτω, 165
Ἑρμῆ χθόνιε, <…> κηρύξας ἐμοὶ 124
τοὺς γῆς ἔνερθε δαίμονας κλυεῖν ἐμὰς 125
εὐχάς, πατρῴων δωμάτων ἐπισκόπους,
καὶ Γαῖαν αὐτήν, ἣ τὰ πάντα τίκτεται
θρέψασά τ᾽ αὖθις τῶνδε κῦμα λαμβάνει·
κἀγὼ χέουσα τάσδε χέρνιβας νεκροῖς
λέγω καλοῦσα πατέρ᾽· ἐποίκτιρόν τ᾽ ἐμέ, 130
φίλον τ᾽ Ὀρέστην, ὡς ἄναξωμεν δόμοις.
πεπραμένοι γὰρ νῦν γέ πως ἀλώμεθα
πρὸς τῆς τεκούσης, ἄνδρα δ᾽ ἀντηλλάξατο
Αἴγισθον, ὅσπερ σοῦ φόνου μεταίτιος.
κἀγὼ μὲν ἀντίδουλος· ἐκ δὲ χρημάτων 135
φεύγων Ὀρέστης ἐστίν, οἱ δ᾽ ὑπερκόπως
ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα.
ἐλθεῖν δ᾽ Ὀρέστην δεῦρο σὺν τύχῃ τινὶ
κατεύχομαί σοι, καὶ σὺ κλῦθί μου, πάτερ·
αὐτῇ τέ μοι δὸς σωφρονεστέραν πολὺ 140
μητρὸς γενέσθαι χεῖρά τ᾽ εὐσεβεστέραν.
ἡμῖν μὲν εὐχὰς τάσδε, τοῖς δ᾽ ἐναντίοις
λέγω φανῆναι σου, πάτερ, τιμάορον,
καὶ τοὺς κτανόντας ἀντικατθανεῖν δίκῃ.
ταῦτ᾽ ἐν μέσῳ τίθημι †τῆς κακῆς ἀρᾶς,† 145
κείνοις λέγουσα τήνδε τὴν κακὴν ἀράν·
ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω,
σὺν θεοῖσι καὶ Γῇ καὶ Δίκῃ νικηφόρῳ.
τοιαῖσδ᾽ ἐπ᾽ εὐχαῖς τάσδ᾽ ἐπισπένδω χοάς.
ὑμᾶς δὲ κωκυτοῖσ᾽ ἐπανθίζειν νόμος, 150
παιῶνα τοῦ θανόντος ἐξαυδωμένας.

**119** τιν᾽ Asulanus: τίν᾽ M // **121** ἁπλωστὶ Hermann: ἁπλῶστι M // **123** post h.v. lacunam statuit Wilamowitz // **165** huc traiecit Hermann // **124** lacunam posuit Canter: Ἑρμῆ χθόνιε, <γένοιο> Housman, <ἄρηξον> Ἑ- χ- Klausen, <οἴκτιρον>, Ἑ- χ– Battezzato, alii alia // **125** κλυεῖν Wilamowitz: κλύειν M // **126** δωμάτων Portus: δ' ὀμμάτων M: αἱμάτων Ahrens // **129** νεκροῖς M$^{\gamma\rho}$: βροτοῖς M, φθιτοῖς Hermann **130** ·πάτερ M: πατέρ᾽ Turnebus post Asulanum (πάτερ᾽) / ἐποίκτιρόν Kirchhoff: ἐποίκτειρόν M // **131** ὡς ἄναξωμεν Pauw: πῶς ἀνάξομεν M, ὡς et ἀνάξομεν videtur legisse Σ, φῶς τ᾽ ἄναψον ἐν Schneidewin, φῶς ἄναψον ἐν Wilamowitz // **132** πεπραμένοι Portus: πεπραγμένοι M (Σ?) // **136** φεύγων Robortellus: φεύγειν M // **137** μέγα Turnebus: μέτα M // **140** τέ μοι M: τ᾽ ἐμοὶ Klausen / σωφρονεστέραν M$^{sl}$: σωφρονεστέρα M, σωφρονεστέρᾳ Meineke (cf. 141) // **141** εὐσεβεστέρᾳ Meineke // **143** σου M: σοῦ Hermann // **144** ἀντικατθανεῖν M: ἀντικατακτανεῖν Σ$^{\gamma\rho}$ , ἀντικακτανεῖν Scaliger / δίκῃ Portus: δίκην M // **145** τῆς καλῆς ἀρᾶς Schütz, τῶν ἐμῶν λόγων Battezzato (collato Σ ἐν κεφαλαίωι, ἐν ὑποθέσει τίθημι), μελομένοις τελεῖν Wilamowitz, alii alia // **147** τῶνδ᾽ m // **151** παιῶνα West (post Wackernagel): παιᾶνα M //